ΑΛ. χρόνος μαλάξει σ᾽· οὐδέν ἐσθ᾽ ὁ κατθανών.
ΑΔ. ἄγου με σὺν σοί, πρὸς θεῶν, ἄγου κάτω.
ΑΛ. ἀρκοῦμεν ἡμεῖς οἱ προθνῄσκοντες σέθεν.
ΑΔ. ὦ δαῖμον, οἵας συζύγου μ᾽ ἀποστερεῖς.
ΑΛ. καὶ μὴν σκοτεινὸν ὄμμα μου βαρύνεται.
ΑΔ. ἀπωλόμην ἄρ᾽, εἴ με δὴ λείψεις, γύναι.
ΑΛ. ὡς οὐκέτ᾽ οὖσαν οὐδὲν ἂν λέγοις ἐμέ.
ΑΔ. ὄρθου πρόσωπον, μὴ λίπῃς παῖδας σέθεν.
ΑΛ. οὐ δῆθ᾽ ἑκοῦσά γ᾽, ἀλλὰ χαίρετ᾽, ὦ τέκνα.
ΑΔ. βλέψον πρὸς αὐτοὺς βλέψον. ΑΛ. οὐδέν εἰμ᾽ ἔτι.
ΑΔ. τί δρᾷς; προλείπεις; ΑΛ. χαῖρ᾽. ΑΔ. ἀπωλόμην τάλας.
ΧΟ. βέβηκεν, οὐκέτ᾽ ἔστιν Ἀδμήτου γυνή.

ΠΑΙΣ

ἰώ μοι τύχας. μαῖα δὴ κάτω [στρ.
βέβακεν, οὐκέτ᾽ ἔστιν,
ὦ πάτερ, ὑφ᾽ ἁλίῳ.
προλιποῦσα δ᾽ ἁμὸν
βίον ὠρφάνισεν τλάμων.
ἴδε γὰρ ἴδε βλέφαρον
καὶ παρατόνους χέρας.
ὑπάκουσον ἄκουσον, ὦ μᾶτερ, ἀντιάζω.
ἐγώ σ᾽ ἐγώ, μᾶτερ,
. . . καλοῦμαί σ᾽ ὁ
σὸς ποτὶ σοῖσι πίτ-
νων στόμασιν νεοσσός.
ΑΔ. τὴν οὐ κλύουσαν οὐδ᾽ ὁρῶσαν· ὥστ᾽ ἐγὼ
καὶ σφὼ βαρείᾳ συμφορᾷ πεπλήγμεθα.

ΠΑ. νέος ἐγώ, πάτερ, λείπομαι φίλας [ἀντ.
μονόστολός τε ματρός·
ὦ σχέτλια δὴ παθὼν